κοῦν χρὴ θεώμενον σαυτοῦ ἀποπειρᾶσθαι, εἰ γνώσῃ· νῦν δ' ἐγώ σοι σύνοιδα ἐπὶ μὲν κωμῳδῶν θέαν καὶ πάνυ πρωῒ ἀνισταμένῳ καὶ πάνυ μακρὰν ὁδὸν βαδίζοντι καὶ ἐμὲ ἀναπείθοντι προθύμως συνθεᾶσθαι· ἐπὶ δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας. Οὐκοῦν γελοῖός σοι φαίνομαι εἶναι, ὦ Σώκρατες; Σαυτῷ δὲ πολὺ νὴ Δί', ἔφη, γελοιότερος· ἢν δὲ καὶ ἀφ' ἱππικῆς σοι ἐπιδεικνύω τοὺς μὲν εἰς ἀπορίαν τῶν ἐπιτηδείων ἐληλυθότας, τοὺς δὲ διὰ τὴν ἱππικὴν καὶ πάνυ εὐπόρους ὄντας, καὶ ἅμα ἀγαλλομένους ἐπὶ τῷ κέρδει; Οὐκοῦν τούτους μὲν καὶ ἐγὼ ὁρῶ καὶ οἶδα ἑκατέρους, καὶ οὐδέν τι μᾶλλον τῶν κερδαινόντων γίγνομαι. Θεᾷ γὰρ αὐτοὺς ᾗπερ τοὺς τραγῳδούς τε καὶ κωμῳδούς, οὐχ ὅπως ποιητὴς, οἴομαι, γένῃ· ἀλλ' ὅπως ἡσθῇς ἰδών τι ἢ ἀκούσας· καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει, οὐ γὰρ ποιητὴς βούλει γενέσθαι, ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι οὐ μωρὸς οἴει εἶναι, εἰ μὴ σκοπεῖς, ὅπως μὴ ἰδιώτης[18] ἔσῃ τούτου τοῦ ἔργου, ἄλλως τε καὶ τῶν αὐτῶν ὄντων ἀγαθῶν εἴς τε τὴν χρῆσιν καὶ κερδαλέων εἰς πώλησιν;—Πωλοδαμνεῖν με κελεύεις, ὦ Σώκρατες; Οὐ μὰ Δί' οὐδέν τι μᾶλλον ἢ καὶ γεωργοὺς ἐκ παιδίων ὠνούμενον κατασκευάζειν· ἀλλ' εἶναί τινές μοι δοκοῦσιν ἡλικίαι καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμοί εἰσι καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. Ἔχω δ' ἐπιδεῖξαι καὶ γυναιξὶ ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους, ὥστε συνεργοὺς ἔχειν αὐτὰς εἰς τὸ συναύξειν τοὺς οἴκους, τοὺς δὲ ᾗ ὡς πλεῖστα λυμανοῦνται. Καὶ τούτου πότερον χρή, ὦ Σώκρατες, τὸν ἄνδρα αἰτιᾶσθαι, ἢ τὴν γυναῖκα; Πρόβατον μὲν ἔφη ὁ Σωκράτης, ὡς ἐπὶ τὸ πολὺ, ἢν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα, καὶ ἵππος, ὡς ἐπὶ τὸ πολὺ, ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν· τῆς δὲ γυναικὸς, εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι· εἰ δὲ μὴ διδάσκων τὰ καλὰ κἀγαθὰ ἀνεπιστήμονι τούτων χρῷτο, ἆρ' οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι; πάντως δ', ἔφη, ὦ Κριτόβουλε, φίλοι γάρ ἐσμεν οἱ παρόντες, ἀπαληθεῦσαι δεῖ πρὸς ἡμᾶς· ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί; Οὐδενί, ἔφη. Ἔστι δὲ ὅτῳ ἐλάσσονα διαλέγῃ ἢ τῇ γυναικί; Εἰ δὲ μὴ, οὐ πολλοῖς γε, ἔφη. Ἔγημας δὲ αὐτὴν παῖδα νέαν μάλιστα, ἢ[19] καὶ ὡς ἠδύνατο ἐλάχιστα ἑωρακυῖαν καὶ ἀκηκουῖαν; — Μάλιστα. — Οὐκοῦν πολὺ θαυμαστότερον, εἴ τι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο ἢ εἰ ἐξαμαρτάνοι. Οἷς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, ἢ αὐτοὶ ταύτας ἐπαίδευσαν; Οὐδὲν οἷον[20] τὸ ἐπισκοπεῖσθαι· συστήσω δέ σοι ἐγὼ καὶ Ἀσπασίαν, ἣ ἐπιστημονέστερον ἐμοῦ σοι ταῦτα πάντα ἐπιδείξει. Οἶμαι δέ σοι καὶ τῶν ἄλλων ἐπιστημῶν τοὺς ἀξίως λόγου ἑκάστην ἐργαζομένους ἔχειν ἂν ἐπιδεῖξαί σοι, εἴ τι προσδεῖσθαι νομίζεις.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἀλλὰ πάσας μὲν τί σε δεῖ ἐπιδεικνύναι, ὦ Σώκρατες; ἔφη ὁ Κριτόβουλος· οὔτε γὰρ κτήσασθαι πασῶν τῶν τεχνῶν ἐργάτας ῥᾴδιον οἵους δεῖ, οὔτε

18) Ἄπειρος, ἀσυνείθιστος. 19) Μόνον νέαν πολλά, ἢ καὶ πρὸς τούτοις; ἴδε καὶ κατωτέρω, σημ. 24. 20) Οὐδὲν τοιοῦτον, οἷον· τοῦτο εἶνε τὸ μόνον.